δοῦλοι· καλοῦσι δ᾽ αὐτὸν ᾧ λατρεύομεν
Πολύφημον· ἀντὶ δ᾽ εὐίων βακχευμάτων
ποίμνας Κύκλωπος ἀνοσίου ποιμαίνομεν.
παῖδες μὲν οὖν μοι κλιτύων ἐν ἐσχάτοις
νέμουσι μῆλα νέα νέοι πεφυκότες,
ἐγὼ δὲ πληροῦν πίστρα καὶ σαίρειν στέγας
μένων τέταγμαι τάσδε τῷ τε δυσσεβεῖ
Κύκλωπι δείπνων ἀνοσίων διάκονος.
καὶ νῦν, τὰ προσταχθέντ᾽, ἀναγκαίως ἔχει
σαίρειν σιδηρᾷ τῇδέ μ᾽ ἁρπάγῃ δόμους,
ὡς τόν τ᾽ ἀπόντα δεσπότην Κύκλωπ᾽ ἐμὸν
καθαροῖσιν ἄντροις μῆλά τ᾽ εἰσδεχώμεθα.
ἤδη δὲ παῖδας προσνέμοντας εἰσορῶ
ποίμνας. τί ταῦτα; μῶν κρότος σικινίδων
ὅμοιος ὑμῖν νῦν τε χὤτε Βακχίῳ
κώμοις συνασπίζοντες Ἀλθαίας δόμους
προσῇτ᾽ ἀοιδαῖς βαρβίτων σαυλούμενοι;

ΧΟ. πᾷ μοι γενναίων πατέρων (str.)
γενναίων τ᾽ ἐκ τοκάδων,
πᾷ δή μοι νίσει σκοπέλους;
οὐ τᾷδ᾽ ὑπήνεμος αὔρα
καὶ ποιηρὰ βοτάνα,
δινᾶέν θ᾽ ὕδωρ ποταμῶν
ἐν πίστραις κεῖται πέλας ἄν-
τρων, οὗ σοι βλαχαὶ τεκέων;
ψύττα, οὐ τάδ᾽ οὔ, οὐ τᾷδε νεμεῖ
κλιτὺν δροσεράν;
ὠή, ῥίψω πέτρον τάχα σου·
ὕπαγ᾽ ὦ ὕπαγ᾽ ὦ κεράστα,
μηλοβότα στασίωρον
Κύκλωπος ἀγροβάτα.

---

39. *κώμοις*] Dobraeus, *κῶμοι* libri. 41. *πᾷ μοι*] Nauckius, *πᾷ δή μοι* libri. *γενναίων*] Hermannus, *γενναίων μέν* libri. 48. *οὗ*] Casaubonus, *οὐ* libri. 49. *νεμεῖ*] Matthiae, *νέμῃ* libri. 50. *κλιτὴν δροσεράν B οὔτ᾽ οὖν κλιτὴν δρ. C κλιτύν* Musurus. 52. *ὕπαγ᾽ ὦ ὕπαγ᾽ ὦ*] H. Stephanus, *ὑπάγω ὑπάγω* libri. 54. *ἀγροβάτα B ἀγροβότα C*